Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: qnq-aw

*Αἴλιος Ἡρωδιανός* · Herodian of Alexandria

# Monobiblos-Being

*Μονόβιβλον περὶ τοῦ ἦν*

**Period:** *Ῥωμαϊκή* Roman
**Dialect:** *Κοινὴ τεχνική* Technical Koine
**Domain:** *Γραμματική* Grammar
**Format:** *Λόγος* Oration

1 ΜΟΝΟΒΙΒΛΟΝ ΠΕΡΙ ΤΟΥ ΗΝ.

3,2.786 Choer. 536, 17: λέγει ὁ Ἡρωδιανὸς ἐν τῷ περὶ τοῦ ἦν μονοβίβλ ῳ, ὅτι τὸ ἦν εὑρίσκεται καὶ πρώτου προσώπου ἑνικοῦ οἷον ἦν ἐγώ, ὡς παρ’ Ἀριστοφάνει ἐν Πλούτῳ (28) ἐγὼ θεοσεβὴς καὶ δίκαιος ὢν ἀνὴρ κακῶς ἔπραττον καὶ πένης ἦν ἀντὶ τοῦ ὑπῆρχον. εὑρίσκεται καὶ τρίτον πρόσωπον ἑνικοῦ «ἦν ἐκεῖ νος», εὑρέθη δὲ καὶ πρῶτον πρόσωπον τῶν πληθυντικῶν οἷον «ἦν ἡμεῖς» ἀντὶ τοῦ ἦμεν· εἰκότως οὖν καὶ τὸ τρίτον πρόσωπον τῶν πληθυντικῶν οὐκ ἐνήλλαξε πρὸς τὸ ἴδιον πρῶτον πρόσωπον, ἀλλ’ ἐγένετο καὶ αὐτὸ διὰ τοῦ η «τῆς δ’ ἦν τρεῖς κεφαλαί» (Hesiod. Theog. 321) ἀντὶ τοῦ ἦσαν, ἵνα ὥσπερ ἐν τοῖς ἑνικοῖς τὸ πρῶτον καὶ τρίτον ὁμοφωνῇ.